LICEO GINNASIO STATALE
'DANTE ALIGHIERI' – RAVENNA

# *Piccolo Agone Placidiano*

**13 aprile 2011**

## I SEZIONE (IV Ginnasio)

### Come si allenavano gli antichi atleti

*Fra le varie opere del retore di età imperiale Filostrato (172-247) spicca un prezioso trattato dedicato alle discipline sportive, in cui non manca un'evocazione idealizzata della vita sana e rude dei primi atleti.*

Ἐγυμνάζοντο οἱ παλαιοὶ οἱ μὲν ἄχθη φέροντες οὐκ εὔφορα, οἱ δὲ ὑπὲρ τάχους ἁμιλλώμενοι πρὸς ἵππους καὶ **πτῶκας**, οἱ δὲ ὀρθοῦντές τε καὶ κάμπτοντες σίδηρον, οἱ δὲ ταύρους ἀπαυχενίζοντες, οἱ δὲ λέοντας.
Τίσανδρον δέ, τὸν **ἐκ τῆς Νάξου** πύκτην, περὶ τὰ ἀκρωτήρια τῆς νήσου νέοντα, παρέπεμπον αἱ χεῖρες ἐπὶ πολὺ τῆς θαλάττης[1], **γυμναζόμεναί τε καὶ γυμνάζουσαι**[2]. Ποταμοί τε αὐτοὺς ἔλουον καὶ πηγαί. Σιτία[3] δὲ αὐτοῖς **αἵ** τε μᾶζαι καὶ **τῶν ἄρτων** οἱ ἄπεπτοι καὶ μὴ ζυμῖται· καὶ τῶν κρεῶν τὰ βόειά τε καὶ ταύρεια καὶ τράγεια τούτους ἔβοσκε, καὶ δόρκοι. Κότινοί τε καὶ φυλίαι ἔχριον αὐτοὺς λίπα· ὅθεν[4] ἄνοσοί τε ἤσκουν καὶ ὀψὲ ἐγήρασκον. Ἠγωνίζοντό τε οἱ μὲν ὀκτὼ ὀλυμπιάδας, οἱ δὲ ἐννέα, καὶ ὁπλιτεύειν ἀγαθοὶ ἦσαν. Ἐμάχοντό τε ὑπὲρ τειχῶν, οὐδὲ ἐκεῖ πίπτοντες, ἀλλ' ἀριστείων τε ἀξιούμενοι καὶ τροπαίων, καὶ **μελέτην** ποιούμενοι πολεμικὰ μὲν γυμναστικῶν, γυμναστικὰ δὲ πολεμικῶν ἔργα[5].

FILOSTRATO, Γυμναστικός

[1] ἐπὶ πολὺ τῆς θαλάττης: traduci liberamente l'espressione, facendo attenzione ai significati di ἐπί.
[2] Τίσανδρον… γυμνάζουσαι: qui, come altrove, la traduzione non deve ricalcare necessariamente la struttura del testo greco, ma esprimerne il contenuto in un italiano il più possibile fluido e appropriato.
[3] Σιτία: sottinteso ἦν (o ἦσαν).
[4] ὅθεν: = διό.
[5] μελέτην… ἔργα: riordina: ποιούμενοι (τὰ) πολεμικὰ ἔργα μελέτην (τῶν) γυμναστικῶν, γυμναστικὰ δὲ πολεμικῶν.

**Questionario**

A. πτῶκας: declina interamente questo sostantivo.
B. ἐκ τῆς Νάξου: a che complemento italiano corrisponde, in questo contesto?
C. γυμναζόμεναί τε καὶ γυμνάζουσαι: che cosa esprime qui questa distinzione di diatesi? In particolare, quale può essere l'oggetto di γυμνάζουσαι?
D. αἵ: puoi spiegare la presenza dell'accento in questo articolo?
E. τῶν ἄρτων: che funzione logica ha qui questo caso? Nella traduzione puoi renderlo come se fosse ἄρτοι ἄπεπτοι; lo stesso vale più avanti per τῶν κρεῶν τὰ βόεια (=κρέα βόεια).
F. μελέτην: che funzione logica assume? Esamina attentamente le valenze del verbo reggente.
G. Che rapporto viene a legare nella visione dell'autore le attività atletiche a quelle belliche?
H. Illustra l'importanza delle discipline sportive nella παιδεία greca, anche facendo riferimento alle più importanti competizioni panelleniche.

LICEO GINNASIO STATALE
'DANTE ALIGHIERI' – RAVENNA

# *Piccolo Agone Placidiano*

**13 aprile 2011**

## II SEZIONE (V Ginnasio)

### L'imperatore Diocleziano

*Il* Χρονικόν *o* Ἐπιτομὴ Ἱστοριῶν *in 18 libri di Giovanni Zonara, cronista e teologo attivo presso la corte di Costantinopoli nel XII sec., si pone l'ambizioso obiettivo di compendiare la storia universale dalla creazione fino al 1118; pur nel suo carattere principalmente compilatorio, esso risulta fonte preziosa anche per l'età antica e tardoantica, preservando notizie attinte da opere storiografiche del tutto o in parte perdute.*

Διοκλητιανός, ὃς Δαλμάτης μὲν ἦν **τὸ γένος**, πατέρων δ' ἀσήμων, ἐξ εὐτελῶν στρατιωτῶν[1] δοὺξ Μυσίας ἐγένετο. Ἐν δὲ τῇ Ῥώμῃ γενόμενος τῶν τῆς ἀρχῆς πραγμάτων ἀντεποιεῖτο καὶ **τῆς** τούτων ἥψατο **διοικήσεως**. **Ἀπιδὼν** δὲ πρὸς τὸ τῆς βασιλείας ὑπέρογκον, κοινωνὸν αὐτῆς προσλαμβάνεται Μαξιμιανὸν τὸν Ἑρκούλιον, μὴ ἑαυτὸν μόνον **ἀρκοῦντα** πρὸς τοσαύτης ἀρχῆς διοίκησιν λογισάμενος. Ἄμφω τοίνυν συμπνεύσαντες διωγμὸν ἐγείρουσι κατὰ χριστιανῶν, τῶν πρὶν γεγονότων[2] ἁπάντων σφοδρότερόν τε καὶ ἀγριώτερον. Ἐκθύμως γὰρ ἢ μᾶλλον περιμανῶς τὸ τοῦ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ ἔσπευδον ἐκ πάσης γῆς **ἐξαλεῖψαι** σωτήριον ὄνομα.
Διοκλητιανὸς δὲ καὶ Μαξιμιανὸς Καίσαρας ἐχειροτόνησαν τοὺς ἑαυτῶν κηδεστάς, ὁ μὲν Διοκλητιανὸς Μαξιμῖνον τὸν Γαλέριον, τὴν οἰκείαν θυγατέρα συζεύξας αὐτῷ Βαλερίαν· ὁ δ' Ἑρκούλιος Μαξιμιανὸς Κώνσταντα[3], ὃς ἐπεκλήθη[4] Χλωρὸς διὰ τὴν ὠχρότητα, καὶ αὐτὸς τούτῳ τὴν ἑαυτοῦ θυγατέρα Θεοδώραν κατεγγυήσας. Καὶ ἄμφω δὲ τὼ Καίσαρε **τούτω** γαμετὰς εἰχέτην, ἀλλὰ διὰ τὸ πρὸς τοὺς βασιλεῖς κῆδος τὰς μὲν ἀπώσαντο, ταῖς δὲ τῶν βασιλέων θυγατράσι συνῴκησαν.

ZONARA, Χρονικόν

[1] ἐξ εὐτελῶν στρατιωτῶν: da tradurre in italiano con un singolare.
[2] γεγονότων: genitivo plurale maschile del participio perfetto forte di γίγνομαι, che puoi rendere con un participio passato italiano o altra struttura equivalente.
[3] Κώνσταντα: Κώνστας, -αντος, ὁ "Costanzo".
[4] ἐπεκλήθη: III persona singolare indicativo aoristo passivo debole di ἐπικαλέω.

### Questionario

A. τὸ γένος: che funzione ha questo caso?
B. τῆς… διοικήσεως: che figura retorica è? Quale altro esempio, più evidente, trovi nel testo?
C. Ἀπιδών: svolgi l'analisi morfologica.
D. ἀρκοῦντα: che funzione ha questo participio?
E. ἐξαλεῖψαι: svolgi l'analisi morfologica.
F. τούτω: svolgi l'analisi morfologica.
G. Quali espressioni chiariscono il punto di vista di Zonara nei confronti di quest'imperatore?
H. Delinea l'importanza storica di Diocleziano, con riferimento anche alla sua politica economica.

**Liceo Ginnasio Statale**
**'Dante Alighieri' – Ravenna**

# *Piccolo Agone Placidiano*

**13 aprile 2011**

## III Sezione (I Liceo Classico)

### Protagora

*Una fonte imprescindibile per la storia della filosofia greca dell'età classica è costituita dai 10 libri di* Vite e dottrine dei filosofi illustri *di Diogene Laerzio (II-III sec. d. C.), scrittore di cui mancano* in toto *elementi biografici; le testimonianze da lui raccolte, per quanto disorganiche e carenti di elaborazione critica, appaiono particolarmente preziose per quei pensatori, come Protagora, di cui ci sono pervenuti solo rari frammenti.*

Πρωταγόρας **Ἀρτέμωνος**, Ἀβδηρίτης, πρῶτος ἔφη δύο λόγους εἶναι περὶ παντὸς πράγματος ἀντικειμένους ἀλλήλοις. Ἀλλὰ καὶ ἤρξατό που[1] **τοῦτον τὸν τρόπον**· «Πάντων χρημάτων μέτρον ἄνθρωπος, τῶν μὲν ὄντων ὡς **ἔστιν**, τῶν δὲ οὐκ ὄντων ὡς οὐκ ἔστιν». Ἔλεγέ τε μηδὲν εἶναι ψυχὴν παρὰ τὰς αἰσθήσεις καὶ πάντα εἶναι **ἀληθῆ**. Καὶ ἀλλαχοῦ[1] δὲ τοῦτον ἤρξατο τὸν τρόπον· «Περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι οὔθ' ὡς εἰσίν, οὔθ' ὡς οὐκ εἰσίν· πολλὰ γὰρ τὰ κωλύοντα εἰδέναι, **ἥ** τ' ἀδηλότης καὶ βραχὺς ὢν ὁ βίος τοῦ ἀνθρώπου[2]». Διὰ ταύτην δὲ τὴν ἀρχὴν τοῦ συγγράμματος ἐξεβλήθη πρὸς Ἀθηναίων· καὶ τὰ βιβλία αὐτοῦ **κατέκαυσαν** ἐν τῇ ἀγορᾷ, ὑπὸ κήρυκι ἀναλεξάμενοι παρ' ἑκάστου τῶν κεκτημένων.
Οὗτος πρῶτος μισθὸν εἰσεπράξατο μνᾶς ἑκατόν· καὶ πρῶτος λόγων ἀγῶνας ἐποιήσατο καὶ σοφίσματα τοῖς πραγματολογοῦσι προσήγαγε· καὶ τὴν διάνοιαν ἀφεὶς πρὸς τοὔνομα διελέχθη[3] καὶ τὸ νῦν ἐπιπόλαιον γένος τῶν ἐριστικῶν ἐγέννησεν. Οὗτος καὶ τὸ Σωκρατικὸν εἶδος τῶν λόγων πρῶτος ἐκίνησε.

Diogene Laerzio, Βίοι καὶ γνῶμαι τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων

[1] που… ἀλλαχοῦ: in entrambi i casi il riferimento non è a *loca* geografici ma a *loci* testuali.
[2] ἥ τ' ἀδηλότης καὶ βραχὺς ὢν ὁ βίος τοῦ ἀνθρώπου: puoi rendere liberamente la *variatio* presente nel testo protagoreo, anche rielaborando il secondo elemento.
[3] διελέχθη: controlla attentamente sul vocabolario il significato che assume in questo tempo e diatesi.

### Questionario

A. Ἀρτέμωνος: quale termine greco può essere sottinteso?
B. τοῦτον τὸν τρόπον: che funzione ha qui questo caso?
C. ἔστιν: quale fondamentale regola delle concordanze propria della lingua greca giustifica questa forma verbale?
D. ἀληθῆ: qual è l'origine di questa terminazione?
E. ἥ: puoi giustificare questa accentazione?
F. κατέκαυσαν: puoi spiegare la formazione di questo tema temporale?
G. Cerca di evidenziare, anche attraverso precisi riferimenti lessicali, gli aspetti della personalità di Protagora e del suo pensiero trattati nel testo di Diogene Laerzio.
H. Quale celebre scritto di età classica vede come protagonista Protagora, in una prospettiva tuttavia decisamente critica?

LICEO GINNASIO STATALE
'DANTE ALIGHIERI' – RAVENNA

# *Piccolo Agone Placidiano*

**13 aprile 2011**

## IV SEZIONE (II Liceo Classico)

### Il fascino insidioso del teatro tragico

*Nel trattatello* Come il giovane deve ascoltare le opere poetiche *Plutarco mette in guardia anche da una ricezione acritica dei capolavori dei grandi tragediografi.*

Καὶ ταῦτα[1] δὴ τοῖς νέοις ὑποδεικνύοντες οὐκ ἐάσομεν φορὰν πρὸς τὰ φαῦλα γίγνεσθαι τῶν **ἠθῶν** ἀλλὰ τῶν βελτιόνων ζῆλον καὶ προαίρεσιν, εὐθὺς τοῖς μὲν τὸ ψέγειν τοῖς δὲ τὸ ἐπαινεῖν ἀποδιδόντες. Μάλιστα δὲ τοῦτο ποιεῖν δεῖ ἐν ταῖς τραγῳδίαις ὅσαι λόγους ἔχουσι πιθανοὺς καὶ πανούργους ἐν πράξεσιν ἀδόξοις καὶ πονηραῖς. Οὐ πάνυ γὰρ ἀληθὲς τὸ τοῦ Σοφοκλέους λέγοντος

Οὐκ ἔστ᾽ ἀπ᾽ ἔργων μὴ καλῶν ἔπη καλά[2]·

καὶ γὰρ οὗτος εἴωθεν ἤθεσι φαύλοις καὶ ἀτόποις πράγμασι λόγους ἐπιγελῶντας καὶ φιλανθρώπους αἰτίας πορίζειν. Καὶ **ὁ σύσκηνος**[3] **αὐτοῦ** πάλιν ὁρᾷς ὅτι τήν τε Φαίδραν καὶ **προσεγκαλοῦσαν** τῷ Θησεῖ πεποίηκεν **ὡς** διὰ τὰς ἐκείνου παρανομίας ἐρασθεῖσαν τοῦ Ἱππολύτου[4]. Τοιαύτην δὲ καὶ τῇ Ἑλένῃ παρρησίαν κατὰ τῆς Ἑκάβης ἐν ταῖς Τρῳάσι δίδωσιν, οἰομένῃ δεῖν ἐκείνην κολάζεσθαι μᾶλλον, ὅτι μοιχὸν αὐτῆς **ἔτεκε**. Μηδὲν οὖν τούτων κομψὸν ἡγεῖσθαι καὶ πανοῦργον ὁ νέος ἐθιζέσθω, μηδὲ προσμειδιάτω ταῖς τοιαύταις εὑρησιλογίαις, ἀλλὰ βδελυττέσθω τοὺς λόγους μᾶλλον ἢ τὰ ἔργα τῆς ἀκολασίας.

PLUTARCO, Πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν

[1] Plutarco ha appena citato esempi di situazioni eticamente problematiche nei poemi omerici.
[2] Verso appartenente ad una tragedia perduta, non identificabile.
[3] σύσκηνος: la traduzione del termine in questo contesto deve tenere conto dell'origine etimologica.
[4] Il riferimento è all'*Ippolito velato*, tragedia quasi interamente perduta, a differenza del suo rifacimento, l'*Ippolito coronato*, sempre incentrato sull'incestuosa passione della protagonista per il figliastro.

### Questionario

A. ἠθῶν: qual è la forma originaria della terminazione?
B. ὁ σύσκηνος αὐτοῦ: a chi si allude con questa perifrasi?
C. προσεγκαλοῦσαν: che valore ha questo participio?
D. ὡς: che funzione assume qui?
E. ἔτεκε: puoi spiegare la formazione del tema del presente di questo verbo?
F. Metti in luce elementi formali e retorici significativi all'interno del testo, in relazione anche alla sua funzione pedagogico-didascalica.
G. Cerca di delineare qual è l'atteggiamento di Plutarco verso la poesia rappresentativa, anche instaurando un confronto con le posizioni di grandi filosofi precedenti, come Platone o Aristotele.